# TEZAUR LITURGIC

## 9 NOIEMBRIE

# SLUJBA SF.CUVIOASE TEOCTISTA DE LA LESBOS

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 09 ΝΟΕΜΒΡΙΟΥ
# ΘΕΟΚΤΙΣΤΗ ΟΣΙΑ ΛΕΣΒΙΑ
# ΑΚΟΛΟΥΘΙΑ

## ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν γ΄ στιχηρὰ Προσόμοια τῆς Ὀκτωήχου καὶ γ΄ τῆς Ὁσίας. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν αἰωνίων ποθοῦσα ἐπιτυχεῖν ἀγαθῶν, τῶν ἐπικήρων πᾶσαν, ἡδυπάθειαν φαύλην, ἡγήσω ἐμπορίαν καὶ τὴν τρυφήν, ἐμπαθείας ὑπέκκαυμα, διὸ παιδιόθεν χορείᾳ μοναζουσῶν, συναρίθμιος ὑπῆρξας σεμνή.

Τῶν ἀκαθάρτων πνευμάτων μὴ ἀγνοήσασα, τὰς μεθοδείας πάσας, ἀντετάξω γενναίως, προῤῥίζους ἀνασπῶσα τὰς τῶν παθῶν, ἐκβλαστήσεις καὶ νήπια, τὰ τῆς κακίας κρατοῦσα δαβιτικῶς, καὶ κροτοῦσα πρὸς τὴν πέτραν Χριστόν.

Νεύσει Θεοῦ διαδρᾶσα τῶν πολεμίων χειρῶν, ηὐλίσθης ἐν ἐρήμοις, τὸν Χριστὸν ἐκζητοῦσα, παρέδραμες ἐμφρόνως τὴν κοσμικήν, τῶν παθῶν βίου θάλασσαν, καὶ εἰς λιμένα τὸν ἄνω μεθορμισθεῖς, Ὃν ἐπόθησας Χριστὸν καθορᾶς.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε πιότατον ὄρος χαῖρε καθέδρα Θεοῦ, χαῖρε τὸ θεῖον κράτος, χαῖρε ἄφλεκτε βάτε, χαῖρε Θεοτόκε

χαῖρε παστάς, χαῖρε κλῖμαξ οὐράνιε, χαῖρε ναὲ χαῖρε στάμνε χαῖρε σκηνή, χαῖρε ἄληκτε τοῦ κόσμου χαρά.

*Ἢ Σταυροθεοτοκίον, ὅμοιον*

Ἀναρτηθέντα ὡς εἶδεν, ἐπὶ Σταυροῦ τὸν Ἀμνόν, ἡ ἄμωμος Παρθένος, θρηνῳδοῦσα ἐβόα· Γλυκύτατον μου Τέκνον, τί τὸ καινόν, καὶ παράδοξον θέαμα; πῶς ὁ κατέχων τὰ πάντα ἐν τῇ δρακί, ἐπὶ ξύλου προσηλώθης σαρκὶ;

## ΟΡΘΡΟΣ

Ὁ Κανὼν τῆς Ὁσίας.

*ᾨδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.*

Ὡς θαυμαστός σου ὁ βίος καὶ ἡ ζωή, τῶν Ἀγγέλων ψαύουσα, ἀϋλίας τῷ καινῷ, καὶ ἀήθει τρόπῳ τῆς στενῆς, ὑπὲρ φύσιν Θεοκτίστη πολιτείας σου.

Ἐκ νεαρᾶς ἡλικίας κόσμου τρυφήν, ὁλικῶς μισήσασα καὶ σαρκὸς τὰς ἡδονάς, ἄσκησιν ἐπόθησας δι᾽ ἧς, ἐχαλίνωσας ὁρμὰς πάσας τοῦ σώματος.

Εὔχρηστον γῆν τὴν ψυχήν σου ἐν παιδικῇ, ἀκακίας εὕρατο, ὁ σπορεὺς τῶν ἀγαθῶν, καὶ βαλὼν τὸν σπόρον τῆς ζωῆς, ἐκομίσατο καρπὸν ἑκατοστεύοντα.

*Θεοτοκίον.*

Σὲ τὴν πανάχραντον Κόρην καὶ τῶν πιστῶν, κραταιὰν ἀντίληψιν, Θεοκτίστη ἐκ ψυχῆς, παιδιόθεν στέρξασα πασῶν, ἀρετῶν ὑπερφυῶς, δοχεῖον γέγονεν.

*ᾨδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος.*

Οὐκ ἔλαβες τὸν πονηρόν, θεαρέστως βιοῦσα, διὰ τοῦτο τεκταίνει, κατὰ νώτων σου κακά, καὶ στόλον ἀραβικόν, ἐπιφέρει Λέσβῳ τῇ πατρίδι σου.

Αἰχμάλωτόν σε τοῖς ἐχθροῖς, ὁ ἐχθρὸς τῶν δικαίων, παραδοῦναι σπουδάζει, ἀλλ’ ἐγγὺς ὁ Λυτρωτής, ὃς θᾶττον τῶν μιαρῶν, ἀφαρπάσας, ἁγνὴν ἑαυτῷ συντηρεῖ.

Ἐν Πάρῳ νήσῳ τῶν ἐχθρῶν, διαδρᾶσα τὰς χεῖρας, ᾑρετίσω μονᾶσαι, ὡς στρουθίον ἐν αὐτῇ καὶ τῷ ἐκεῖσε ναῷ, τῆς Παρθένου λάτρις παραμένεις ἀεί.

*Θεοτοκίον.*

Πάσας ἐλπίδας ἐπὶ Σοί, Θεοκτίστη θεμένη, Μητροπάρθενε Κόρη, καὶ Σὲ σκέπην καὶ τροφόν, καὶ πόμα καὶ κραταιάν, προστασίαν ἐν δεινοῖς ἐκέκτητο.

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ἐκ βρέφους τῷ Θεῷ, Θεοκτίστη δοθεῖσα, ὡς κτίσμα ἀγαθόν, καὶ τῷ Κτίσαντι πρέπον, προθύμως τὸν ζυγὸν αὐτοῦ, τὸν χρηστὸν ἐκ νεότητος, ἦρας ἄγευστον, τύρβης τοῦ βίου τηροῦσα, πᾶσαν αἴσθησιν, διὸ ὡς ἄσαρκος ξένως, ἐν γῇ πεπολίτευσαι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὁδήγησον ἡμᾶς, ἐν ὁδῷ μετανοίας, ἐκκλίνοντας ἀεί, πρὸς κακῶν ἀνοδίας, καὶ τὸν ὑπεράγαθον, παροργίζοντας Κύριον, ἀπειρόγαμε, εὐλογημένη Μαρία, καταφύγιον ἀπεγνωσμένων ἀνθρώπων, Θεοῦ ἐνδιαίτημα.

*Ἢ Σταυροθεοτοκίον*

Ὢ θαύματος καινοῦ! ὢ φρικτοῦ μυστηρίου! ἐβόα ἡ Ἀμνάς, καὶ πανάμωμος Κόρη, ἐν ξύλῳ ὡς ἑώρακεν, ἁπλωθέντα τὸν Κύριον, ὁ τὰ σύμπαντα, ἐν τῇ δρακὶ περιφέρων, πῶς κατάκριτος, ὑπὸ κριτῶν παρανόμων, σταυρῷ κατακρίνεται;

*ᾨδὴ δ΄. Χριστός μου δύναμις.*

Λάθρα χωρήσασα, πρὸς τὰ ἐνδότερα καὶ ὑλώδη τῆς νήσου, τοὺς ὁρατοὺς ἐχθροὺς ὑπεξέφυγες, τῶν ἀοράτων δὲ σφοδρῶς, ἐπιτέθειταί σοι πόλεμος.

Τίς ἐξισχύσει σου Ὁσία, ὅλως εἰπεῖν, τοὺς ἀγῶνας οὓς ἔσχες πρὸς τὰς ἀρχὰς τοῦ σκότους πυκτεύουσα, ὧν καὶ τὰ βέλη φλογερά, καὶ οἱ λόγοι δυσκατάληπτοι.

Ὢ τῆς φρουρούσης σε, ἐνθέου χάριτος, πῶς καὶ μόνη καὶ νέα τῶν νοητῶν, αἰθιόπων φάλαγγας, ἐν γυναικείᾳ τῇ φύσει, ἐτροπώσω καὶ κατήσχυνας.

*Θεοτοκίον.*

Τελείαν σύνεσιν, ἐν νέῳ σώματι, Θεοκτίστη θεμένη σοῦ τῆς Μητρός, τοῦ Θεοῦ ἐξήρτητο, πάσας ἐλπίδας ἑαυτῆς, καὶ κατήντησεν εἰς γῆρας καλόν.

*ᾨδὴ ε΄. Τῷ θείῳ φέγγει σου ἀγαθέ.*

Τὸν νοῦν ὑψώσασα πρὸς Θεόν, πάντων ὑπερήρθης ὀρεκτῶν, ῥευστῶν καὶ ἀναγκῶν τῶν τοῦ σώματος, ὅθεν οὐ λιμός σε οὐ δίψα ἔνδοξε, οὐ ψύχος οὐ γυμνότης, οὐ καύσων ἥττησε.

Τὸν ξένον βίον σου ὁ ἐχθρός, βλέπων διεπρίετο φθόνῳ καὶ οὐκ ἀφῆκε τυράννων σοι μηχανὰς παντοίας ὑποσκελίσας σου, πειρώμενος τὰ ἄμωμα διαβήματα.

Βέλη νηπίων τοῦ πονηροῦ, πᾶσαν προσβολὴν ἡγουμένη, ἀνεπιστρόφως διήνυσας, τῆς καινῆς ἀσκήσεως σοῦ τὸν δίαυλον, καὶ κατήσχυνας τούτου τὸ κενὸν φρύαγμα.

*Θεοτοκίον.*

Ὡς μακαρία ἐν γυναιξίν, ἡ Σὲ παμμακάριστε Θεοτόκε, εὐφρόνως ἀντίληψιν, ἑαυτῇ θεμένη ἐν Σοὶ γὰρ δύναμιν ποιήσασα, τοὺς θλίβοντας ἐξουδένωσεν.

*ᾨδὴ στ΄. Τοῦ βίου τὴν θάλασσαν.*

Τοὺς ὅρους τῆς φύσεως, ὑπερβέβηκας χωρὶς τῶν ἀναγκαίων ζήσασα, διὸ ὡς παραψαύουσα ἐν σαρκί, ἀϋλίας ἔμενες, οὓς ἐβούλου παροῦσα ἀθεώρητος.

Προέγνως τῷ Πνεύματι τῷ ἁγίῳ ἑαυτῆς, τὴν τελευτὴν ἐγγίζουσαν, διὸ καὶ καθωράθης τῷ θηρευτῇ, Θεοῦ εὐδοκήσαντος, ὡς μὴ λάθη σοῦ βίου τὸ ξενότροπον.

Ὡς εἶδεν Ὁσία σε, ἐν ναῷ ὁ θηρευτής, μορφὴν βροτείαν ἔχουσα, δίχα σαρκὸς καὶ αἵματος ἐκπλαγείς, φάσμα βλέπειν ἔδοξεν, εἰς τοσοῦτον ἐτάκη, ὢ τοῦ θαύματος.

*Θεοτοκίον.*

Πανάχραντε Δέσποινα, μὴ ἀπώσῃς με δεινῶς, ἀκαθαρσίας γέμοντα, ἀλλ’ ἵλεως γενοῦ μοι καὶ

εὐμενῶς, πρόσδεξαι προσάγοντα, τὰς τῆς Σῆς Θεοκτίστης, εἰς πρεσβείαν λιταῖς.

*Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.*

Θᾶττον ἔλυσας τοῦ κτύξαντος τὴν θέαν σου, τὸ δέος ἐκκαλύψασα τὰ συμβάντα σοι κατὰ θείαν πρόνοιαν ἐν σοί, ἐφ᾽ ἧς καὶ ἐνώπιον αὐτοῦ, ἔδωκας δόξαν τῷ Θεῷ εὐχαριστήριον

Ἐν ἓξ χρόνοις καὶ τριάκοντα ἀσκήσασα, τοῦ σωτηρίου σώματος καὶ τοῦ αἵματος, μὴ ἔχουσα αἰτεῖς, τῷ σοὶ ἐντυχόντι ἐξ αὐτοῦ, μερίδα λίαν εὐλαβῶς ἀποκομίσαι σοι.

Ἧκε φέρων τὸ ποθούμενον καὶ τέθεικε, πανευλαβῶς εἰς χεῖράς σου, ὃ καὶ λαβοῦσα γηθοσύνως ἔφης πρὸς Θεόν, τό· νῦν ἀπολύεις με τὴν σήν, Δέσποτα δούλην εὐμενῶς, κατὰ τὸ ῥῆμά Σου.

*Θεοτοκίον.*

Εὐαρέστως Σοι βιώσασαν πανύμνητε, προσελάβου τὴν λάτριν Σου καὶ ἠξίωσας ἀπορρήτων θείων ἀγαθῶν, αὐτῆς ταῖς πρεσβείαις καὶ ἡμᾶς, μετόχους ποίησον ἁγνή, τῆς ἀκηράτου τρυφῆς.

*Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.*

Τῶν φρικτῶν μυστηρίων μεταλαβοῦσα πιστῶς, ὡς ἐπόθησας Μῆτερ Ὁσία ἔλιπες, χοῦν μὲ τῷ χοΐ, τὸ δὲ τίμιον πνεῦμά σου, Ἄγγελοι ἐντίμως προσήγαγον Κυρίῳ.

Προσελθὼν σοι καὶ αὖθις ὁ θηρευτὴς ὁ πιστός, εὐλογίας ὡς τύχοι τῆς παρά σου ἀπιών, εὗρέ σε νεκρὰν κειμένη νόμῳ φύσεως καὶ διηπορεῖτο, τὶ δέον αὐτῷ πρᾶξαι.

Λογισμῷ ὡς ἐδόκει ὁ ἀμαθὴς τοῦ καλοῦ, θεαρέστως τεμὼν σου καὶ τολμηρῶς χεῖρα σεπτήν, ᾤχετο λαβεῖν ἐφ᾽ ᾧ τιμὴν αἰσίως τὴν σήν, μνήμην μακαρία καὶ βίου φρουρὸν ἔχειν.

*Θεοτοκίον.*

Ἀρεταῖς τῶν Ἁγίων γεραίρων Δέσποινα, ἀρετῆς ἐργασίαν ὅλως οὐ κέκτημαι, ἀλλ᾽ ὡς συμπαθὴς οἴκτειρόν μου τὴν πόρωσιν, καὶ ῥῦσαί με πάσης κακίστης συνηθείας.

*ᾨδὴ θ΄. Θεὸν ἀνθρώποις.*

Χειρὶ κλαπείσῃ τὸν ὑφελόμενον, αὐτῇ νηῒ καὶ φόρτῳ καὶ πλωτῆρσιν ἐκράτησας, καὶ προσμένειν τῇ νήσῳ ἐπέδησας, ἕως συνεὶς ἐκεῖνος, φέρων παρέθετο, ταύτην μετὰ δέους τῷ λοιπῷ, σεπτῷ σου σώματι.

Ἀπολυθέντες οἱ κατεχόμενοι, καὶ τῆς ἐν σοὶ δυνάμεως, ἐν πείρᾳ γενόμενοι, ὁμοῦ πάντες ἔδραμον λειψάνῳ τῷ σῷ, κάλλιστα προσκυνῆσαι καὶ περιπτύξασθαι, ἀλλ᾽ εὗρον οὐδὲν ἀφαντωθέν, τρόποις οἷς οἶδε Θεός.

Μεγίστων πόνων ἀμοιβὰς μείζονας, παρὰ Χριστοῦ Ὁσία δεξαμένη καὶ ἔχουσα, παῤῥησίαν μεγάλην πρεσβεύειν Αὐτῷ, μνήσθητι τῶν τιμώντων τὴν θείαν

μνήμην σου, αἴτησαι πταισμάτων ἱλασμόν, βίου διόρθωσιν.

*Θεοτοκίον.*

Ὁ πάντα θέλων σωθῆναι Κύριος, σὲ ἑαυτῷ Μητέρα ἐκλεξάμενος ἔθετο, τοῖς πιστοῖς παραίτιον παντὸς ἀγαθοῦ, τοῦτον αἱ ἀνομίαις παραπικραίνοντες, διὰ σοῦ ἐλπίζομεν εὑρεῖν, ἵλεων Δέσποινα.

